FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput IV. Bonum choragum et oeconomum posse etiam esse bonum Imperatorem.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

ἐπὶ ταῦτα προτρέπειν, ἀφ' ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ οἱ ἄλλοι πολῖται διὰ σέ. ἀλλὰ νὴ Δία πειράσομαι, ἔφη.

---

## CAPVT IV.

### *Bonum choragum et oeconomum posse etiam esse bonum Imperatorem.*

Ἰδὼν δέ ποτε Νικομαχίδην ἐξ ἀρχαιρεσιῶν ἀπιόντα, ἤρετο· τίνες, ὦ Νικομαχίδη, στρατηγοὶ ᾕρηνται; καὶ ὅς, οὐ γάρ, ἔφη, ὦ Σώκρατες, τοιοῦτοί εἰσιν Ἀθηναῖοι, ὥστε ἐμὲ μὲν οὐχ εἵλοντο, ὃς ἐκ καταλόγου στρατευόμενος κατατέτριμμαι, καὶ λοχαγῶν, καὶ ταξιαρχῶν, καὶ τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων· (ἅμα δὲ τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος ἐπεδείκνυεν·) Ἀντισθένην δὲ, ἔφη, εἵλοντο, τὸν οὔτε ὁπλίτην πώποτε στρατευσάμενον, ἔν τε τοῖς ἱππεῦσιν οὐδὲν περίβλεπτον ποιήσαντα, ἐπιστάμενόν τε
2 ἄλλο οὐδὲν ἢ χρήματα συλλέγειν. οὐκοῦν, ἔφη ὁ Σωκράτης, τοῦτο μὲν ἀγαθὸν, εἴγε τοῖς στρατιώταις ἱκανὸς ἔσται τὰ ἐπιτήδεια πορίζειν. καὶ γὰρ οἱ ἔμποροι, ἔφη ὁ Νικομαχίδης, χρήματα συλλέγειν ἱκανοί εἰσιν· ἀλλ' οὐχ ἕνεκα
3 τούτου καὶ στρατηγεῖν δύναιντ' ἄν. Καὶ ὁ Σωκράτης ἔφη, ἀλλὰ καὶ φιλόνικος Ἀντισθένης ἐστὶν, ὃ στρατηγῷ προσεῖναι ἐπιτήδειόν ἐστιν. οὐχ ὁρᾷς, ὅτι καὶ ὁσάκις κεχορήγηκε, πᾶσι τοῖς χοροῖς νενίκηκε; μὰ Δί', ἔφη ὁ Νικομαχίδης, ἀλλ' οὐδὲν ὅμοιόν ἐστιν χοροῦ τε καὶ στρατεύ-

τεύ-

τεύματος προεστάναι. καὶ μήν, ἔφη ὁ Σωκρά-
της, οὐδὲ ᾠδῆς γε ὁ Ἀντισθένης, οὐδὲ χορῶν 4
διδασκαλίας ἔμπειρος ὤν, ὅμως ἐγένετο ἱκα-
νὸς εὑρεῖν τοὺς κρατίστους ταῦτα. καὶ ἐν τῇ
στρατιᾷ οὖν, ἔφη ὁ Νικομαχίδης, ἄλλους μὲν
εὑρήσει τοὺς τάξοντας ἀνθ᾽ ἑαυτοῦ, ἄλλους δὲ
τοὺς μαχομένους. οὐκοῦν, ἔφη ὁ Σωκράτης, 5
ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους,
ὥσπερ ἐν τοῖς χορικοῖς ἐξευρίσκηται,*) καὶ προ-
αιρῆται, εἰκότως ἂν καὶ τούτου νικηφόρος εἴη·
καὶ δαπανᾶν δ᾽ αὐτὸν εἰκὸς μᾶλλον ἂν ἐθέλειν
εἰς τὴν ξὺν ὅλῃ τῇ πόλει τῶν πολεμικῶν νίκην,
ἢ εἰς τὴν ξὺν τῇ φυλῇ τῶν χορικῶν. λέγεις 6
σύ, ἔφη, ὦ Σώκρατες, ὡς τοῦ αὐτοῦ ἀνδρός
ἐστι χορηγεῖν τε καλῶς καὶ στρατηγεῖν; λέγω
ἔγωγ᾽, ἔφη, ὡς, ὅτου ἄν τις προστατεύῃ, ἐὰν
γιγνώσκῃ τε ὧν δεῖ, καὶ ταῦτα πορίζεσθαι δύ-
νηται, ἀγαθὸς ἂν εἴη προστάτης, εἴ τε χο-
ροῦ, εἴ τε οἴκου, εἴ τε πόλεως, εἴ τε στρατεύ-
ματος προστατεύοι 1). καὶ ὁ Νικομαχίδης, 7
μὰ Δί᾽, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην
ἐγώ σου ἀκοῦσαι, ὡς ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ
στρατηγοὶ ἂν εἶεν. ἴθι δή, ἔφη, ἐξετάσω-
μεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πό-
τερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. πάνυ γε,
ἔφη. οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κα- 8
τηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευά-
ζειν, ἀμφοτέρων ἐστὶν ἔργον; καὶ μάλα, ἔφη.
τί δέ, τὸ προστάττειν ἑκάστους ἐπιτηδείους πράτ-
τειν; καὶ τοῦτο, ἔφη. καὶ μὴν καὶ τὸ τοὺς κα-



*) ἐξευρίσκῃ τε καὶ π. correxit Valken.

1) Vulg. προστατεύει.

κοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾷν, ἀμ-
φοτέροις οἶμαι προσήκειν. πάνυ μὲν οὖν, ἔφη.
9 τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ
καλὸν ἀμφοτέροις; καὶ τοῦτ', ἔφη. συμμά-
χους δὲ καὶ βοηθοὺς προσάγεσθαι, δοκεῖ σοι
συμφέρειν ἀμφοτέροις, ἢ οὔ; πάνυ μὲν οὖν, ἔφη.
ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶ-
ναι προσήκει; σφόδρα γ', ἔφη. οὐκοῦν καὶ ἐπι-
μελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσή-
10 κει περὶ τὰ αὐτῶν ἔργα. ταῦτα μὲν οὖν, ἔφη,
πάντα ὁμοίως ἀμφοτέρων ἐστίν· ἀλλὰ τὸ μά-
χεσθαι, οὐκέτι ἀμφοτέρων. ἀλλ' ἐχθροί γέ τοι
ἀμφοτέροις γίγνονται; καὶ μάλα, ἔφη, τοῦ-
τό γε. οὐκοῦν τὸ περιγενέσθαι τούτων ἀμφοτέ-
11 ροις συμφέρει; πάνυ γ', ἔφη· ἀλλ' ἐκεῖνο πα-
ρίεις, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκο-
νομική; ἐνταῦθα δή που καὶ πλεῖστον, ἔφη. ὁ
γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς, ὅτι οὐδὲν οὕτω
λυσιτελές τε καὶ κερδαλέον ἐστὶν, ὡς τὸ μαχό-
μενον τοὺς πολεμίους νικᾷν, οὐδὲ οὕτως ἀλυσιτε-
λές τε καὶ ζημιῶδες ὡς τὸ ἡττᾶσθαι, προθύ-
μως μὲν τὰ πρὸς τὸ νικᾷν συμφέροντα ζητή-
σει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ
πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυ-
λάξεται, ἐνεργῶς δ' ἂν τὴν παρασκευὴν ὁρᾷ
νικητικὴν οὖσαν, μαχεῖται· οὐχ ἥκιστα δὲ τού-
των, ἐὰν ἀπαράσκευος ᾖ, φυλάξεται συνά-
12 πτειν μάχην. μὴ καταφρόνει, ἔφη, ὦ Νι-
κομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν. ἡ γὰρ
τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς
τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει·
τὸ μέγιστον, ὅτι οὔτε ἄνευ ἀνθρώπων οὐδετέρα

γίγνε-